XXXV. Νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὢν, οἷον χρή, καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς.

XXXVI. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.

XXXVII. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς, ὅτι πάντες οἱ μὴ σοὶ πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις νομιοῦσι.

XXXVIII. Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι.

XXXIX. Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅτι ἂν ποιῇς, ἢ λέγῃς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

XL. Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας.

XLI.

ſtum apud Dionem ſub fin. l. 52. ne familiaribus ſuis nimium indulgeat. *Quæcunque enim*, inquit, *vel recte, vel ſecus egerint, omnia tibi imputabuntur*. Πάντα γὰρ ὅσα ἂν ἢ καλῶς, ἢ κακῶς πράξωσι, σοὶ προστεθήσεται.

XXXVIII. Cicero ad Quintum Fratr. Prætorem Aſiæ l. 1. ep. 1. c. 3. *Circumſpiciendum diligenter, ut in hac cuſtodia provinciæ non te unum, ſed omnes miniſtros imperii tui, ſociis, & civibus, & reip. præſtare videaris*. Plutarchus in Præcept. Polit. ſcribit, Principem, qui utitur pravis adminiſtris, non differre ab opifice, qui utitur normis, regulis, ac libellis parum idoneis.

XXXIX. Xenophon in Pædia l. 8. p. 165. Edit. Baſil. ſcribit, Cyrum habuiſſe familiares quoſdam, qui *oculi & aures regis* appellabantur; ut quæcunque viderent, aut audirent ſibi opportuna, libere dicerent, ac monerent.

XL. Hiero (inquit Plutarchus in Apopht. reg. & imp.) dicere ſolebat, *μηδένα τῶν παῤῥησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι*, *neminem eorum, qui loquendi libertate apud ſe uteretur, eſſe importunum*. Theopompus autem (ut eſt apud eundem Plutarchum in Apophthegm. Lacon.) interroganti cuidam, quomodo regnum tuto ſervare poſſet, reſpondit: *Si juſtam loquendi libertatem amicis permittas*. Hanc in rem facit Senecæ querela lib. 6. de Benef. c. 30. *Non vides, quomodo Principes in præceps agat extincta libertas, & fides in obſequium ſervile ſubmiſſa? dum nemo ex animi ſui ſententia ſuadet, diſſuadetque, ſed adulandi certamen eſt, & unum amicorum omnium officium, una contentio, quis blandiſſime fallat.*

XLI. Cura ut diſtinguas vafros adulatores ab iis, qui te benevole colunt; ne mali meliore conditione ſint, quam boni.

XLII. Audi ſermones alterius de altero; & cura ut ſimul cognoſcas, quinam, & quales ſint, qui loquuntur, & de quibus loquuntur.

XLIII. Iiſdem pœnis coerce eos, qui calumniantur, atque eos qui delinquunt.

XLIV. Impera tibi ipſi nihilo minus, quam aliis; & hoc maxime regium exiſtima, ſi nulli voluptati ſervias, ſed cupiditates tuas magis in officio contineas, quam cives.

XLV. Nullam vitæ conſuetudinem inconſulto & ſine ratione cum aliquo jungas: ſed eos congreſſus eaſque conſuetudines ama, ex quibus & ipſe virtute proficias, & aliis profeciſſe videaris.

XLVI. Cave credant homines, te in iis rebus præſtare velle, quas perficere & mali poſſunt: ſed te in virtute magnopere jacta, cujus nullam partem mali obtinent.

XLVII. Veriſſimum honorem tibi haberi puta, non ab iis, qui te in publico per metum colunt; ſed ab iis, qui inter ſe colloquentes, magis mentem tuam, quam fortunam laudant.

XLVIII.

XLI. Celebre eſt Phocyonis dictum ad Antipatrum apud Plutarchum in Apopht. reg. & imp. Οὐ δύνασαι, Ἀντίπατρε, καὶ φίλῳ Φωκίωνι χρῆσθαι, καὶ κόλακι, *non potes, Antipater, Phocyone & amico uti & adulatore*. Curtius autem l. 8. c. 5. *Adulatio perpetuum malum regum, quorum opes ſæpius aſſentatio, quam hoſtis evertit*. Plutarchus ſyntagma ſcripſit de diſtinguendo adulatore ab amico, quod legere juvabit.

XLII. Ageſilaus, ut refert Xenophon ſub fin. Orat. quam de illo ſcripſit, & Plutarchus in Apopht. Laconicis, cum audiret laudatores aut vituperatores aliorum, ajebat, οὐχ ἧττον δεῖν μανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. *non minus cognoſcendos eſſe mores eorum, qui loquerentur, quam de quibus loquerentur*. Hanc in rem monet Horatius eos, qui cum viris principibus vivunt, l. 1. epiſt. 18. v. 68.
*Quid de quoque viro, & cui dicas, ſæpe videto.*

XLIII. Scite Julianus Imperator, ut eſt apud Ammianum initio lib. 18. *Ecquis innocens eſſe poterit, ſi accuſaſſe ſufficiet?* Itaque

XLI. Διόρα τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

XLII. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοι καὶ τίνες εἰσὶ, καὶ περὶ ὧν ἂν λέγωσι.

XLIII. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἷσπερ τοὺς ἐξαμαρτάνοντας.

XLIV. Ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν.

XLV. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μὴ δ' ἀλογίστως. ἀλλ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

XLVI. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μεγαλοφρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι.

XLVII. Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γινομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες, μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι.



que Plinius in Paneg. c. 34. & 35. Trajanum summopere laudat, quod delatores acerbissimis suppliciis coerceret.

XLIV. Seneca ep. 113. *Imperare sibi maximum imperium est.* Hinc servus Horatio exprobrat l. 2. Sat. 7. v. 81.
*Tu mihi qui imperitas, aliis servis miser.*
Ab Isocrate nostro Euagoras laudatur tamquam ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν. h. e. *regens voluptates, non rectus ab illis.*

XLV. Advertenda vox συνουσία, & verbum ἐπιδίδωμι. Nam Plato eodem fere modo locutus est sub initium Hippiæ Majoris: ὡς σοι συνόντες πλέον ἂν εἰς ἀρετὴν ἐπιδιδοῖεν. *Ut consuetudine tu majores ad virtutem progressus facerent.* Ad sententiam quod attinet, idem præcipit Theognis, redditque rationem hanc v. 34.
Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
*A bonis enim bona disces. Sin autem malis*
*Commiscearis, perdes & illam, quam habes, mentem.*

XLVI. Ita Nicocles in Oratione, quæ proxime sequitur, ait se eas virtutes semper coluisse, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μέτεστι, *quarum nulla pars improbis inest.*

XLVII. Totam hanc sententiam expressit Plinius in exordio Panegyrici ad Trajanum.

XLVIII. Siquando contingat, te rebus gaudere minime bonis, vide ne appareat: cum autem in bonis versaberis, fac ut omnibus manifestum sit.

IL. Ne æquum putes, privatos composite & modeste vivere, reges autem sine modo & ratione: sed fac ut moderatio & continentia tua aliis exemplo sit; tibique persuade, mores totius civitatis moribus eorum, qui imperant, esse similes.

L. Argumentum tibi sit, te recte gubernare, si videas eos, qui gubernantur, ditiores & meliores cura tua esse factos.

LI. Melius existima relinquere filiis bonum nomen, quam magnas divitias: istæ enim mortales & fluxæ sunt, illud immortale. Et bono quidem nomine divitiæ parantur, divitiis autem bonum nomen parabile non est. Adde quod illis etiam pravi abundant, hoc autem non est nisi virorum præstantium.

LII. In vestibus totoque corporis ornatu fac ut excellas; in aliis autem rebus temperanter te gere, sicuti reges decet: ut qui te prodeuntem viderint, ex ore habituque corporis dignum te imperio judicent; qui autem tecum vivunt, propter animi tui ornamenta idem sentiant.

LIII. Nihil dicas, aut facias, quin prius attente consideres; ut in errores quam minimos incidas.

LIV.

XLVIII. Ratio moniti est, quia Principibus, ut scribit Tacitus in 4. Annal. c. 40. *præcipua rerum ad famam dirigenda sunt*.

IL. Eandem sententiam Isocrates expressit in Orat. Areopagitica, ubi loquitur de Solone & Clisthene. In bonum exemplum Vellejus l. 2. c. 126. *Facere recte cives suos Princeps optimus faciendo docet; cumque sit imperio maximus, exemplo major est*. In malum Cicero de Leg. l. 3. c. 14. *Vitiosi principes vitia infundunt in civitatem; neque solum obsunt quod ipsi corrumpuntur, sed etiam quod corrumpunt; plusque exemplo, quam peccato nocent*. Plutarchus in syntagmate ad Princip. imperit. comparat eum, qui imperat, regulæ; quæ nisi recta sit, non potest ea, quibus applicatur, recta facere. Porro de iis, quæ Princeps facere debet, ut civibus suis ad virtutem exemplo sit, vide Xenophontem in Cyri Pædia sub initium lib 8.

L. Cicero ad Attic. l. 8. ep. 11. *Moderatori reip. beata civium vita proposita est, ut opibus firma, copiis locuples, gloria ampla, virtu-*

XLVIII. Λάνθανε μὲν, ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων.

IL. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως, ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι.

L. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους, καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν.

LI. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

LII. Τρύφα μὲν ταῖς ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δὲ, ὡς χρὴ τοὺς βασιλέας, ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν. ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν.

LIII. Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς.



*tute honesta sit*. Et Mæcenas apud Dionem l. 52. p. 481. Τὸν ἄρχοντα τὸν ἄριστον οὐ δεῖ μὴ μόνον αὐτὸν πάνθ' ἃ προσήκει ποιεῖν, ἀλλὰ καὶ τῶν ἄλλων ὅπως ὡς ὅτι βέλτιστοι γίγνωνται, προνοεῖν. *Princeps optimus non solum ipse facere debet, quæ decet, sed & alii ut quam optimi fiant, curare.*

LI. Auctor epist. 2. ad Cæs. de ordin. rep. c. 7. *Sæpe jam audivi, qui reges, quæ civitates & nationes per opulentiam magna imperia amiserint, quæ per virtutem inopes ceperant.*

LII. Cyrus, ut est apud Xenophontem in Pædia l. 8. p. 163. tum ipse magnam vestis totiusque corporis ornatus curam suscipiebat, tum eos quoque suscipere volebat, quibus magistratus mandaret. Contra Livius sub initium lib. 21. laudat Annibalem, *quod vestitus ejus nihil inter æquales excelleret*. Sed tunc quidem Annibal nondum erat cum imperio. Ceterum, ut scribit Plinius l. 6. epist. 31. *Veste & comitatu non quidem augetur dignitas, ornatur tamen & instruitur.*

LIII. Vide Monita LX. & LXXV. Orat. Primæ. Adde Proverb. cap. 13 num. 3. *Qui inconsideratus est ad loquendum, sentiet mala*. Philosophi omnes docent, errata longe plurima, quæ loquendo & agendo committimus, inde oriri, quod res minus attente consideremus, abrepti nimia quadam ingenii & virium confidentia, levitate, impetu, consuetudine, impatientia dubitandi.

LIV. Optimum videtur in re qualibet attingere quod ſummum eſt, & maxime opportunum: id autem quoniam cerni difficile poteſt, ſatius eſt deficere, quam excedere. Etenim modus vim ſuam magis retinet in eo, quod parvum eſt, quam quod nimium.

LV. Eſto civilis & gravis. Alterum enim dominationi convenit, alterum converſationibus. Hoc autem rerum omnium difficillimum eſt. Siquidem plerumque invenies, eos qui gravitatem affectant, frigidos eſſe; qui civilitatem, videri abiectos & viles.

LVI. Si ea probe tenere volueris, quæ decet reges ſcire, experientia tibi opus eſt, & philoſophia. Nam philoſophando rationes & vias deteges; rebus autem agendis ipſarum rerum uſum facilem & idoneum tibi comparabis.

LVII. Conſidera quæ fiunt & contingunt in humana vita, tum privatis hominibus, tum iis qui cum imperio ſunt. Si enim præterita reſpicies, de futuris melius deliberabis.

LVIII. Abſurdum exiſtima, privatos eſſe aliquos, qui ultro mortem oppetant, ut eorum finis celebretur; reges autem nihil magnum audere, quo in vita clari fiant.

LIX. Relinque imagines & monumenta potius tuæ virtutis, quam corporis.

LX.

LIV. Cicero in Orat. c. 22. *Etſi ſuus cuique rei modus eſt, tamen magis offendit nimium, quam parum.* Nam etiam in numeris 2. 4. 8. qui ſibi proportione reſpondent, minimus propior eſt medio, quam maximus.

LV. Lampridius in Alexand. c. 1. narrat, *nimiam civilitatem* Alexandro obiectam fuiſſe, quæ imperii poteſtatem contemtibiliorem faciebat. Modum egregie tenuit Trajanus, de quo Plinius in Paneg. c. 4. *Nihil ſeveritati ejus hilaritate, nihil gravitati ſimplicitate, nihil majeſtati humanitate detrahitur.* V. Nepotem in Attico c. 15. In lege 19. tit 18. l. 1. Dig. monentur Præſides provinciarum, *ne provinciales in familiaritatem admittant. Nam ex converſatione æquali contemtio naſcitur dignitatis.*

LVI. De conjunctione philoſophiæ cum experientia ad recte gubernandum agit Ariſtoteles in lib. 10. Ethic. c. ult. Crudelem Neronis dominationem matri quidam imputant, ut eſt apud Sueton. c. 52. *quod eum a philoſophia avertit; monens, imperaturo contrariam eſſe.* Non tamen quælibet philoſophia Principi convenit; ſed

il-

LIV. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν.

LV. Ἀστεῖος εἶναι πειρῶ, καὶ σεμνός. τὸ μὲν γὰρ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων. εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπεινοὺς φαινομένους.

LVI. Ὅ, τι ἂν ἀκριβῶς εἰδέναι βούλοιο, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

LVII. Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ.

LVIII. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσι.

LIX. Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν.



illa, de qua Ulpianus lib. 1. Dig. t. 1. leg. 1. *Justitiam colimus, & boni & æqui notitiam profitemur; æquum ab iniquo separantes, licitum ab illicito discernentes; bonos non solum metu pœnarum, verum etiam præmiorum exhortatione efficere cupientes; veram, nisi fallor, philosophiam, non simulatam affectantes.*

LVII. Plutarchus de liber. educat. scribit, *facta præterita præbere nobis exemplum ad recte consultandum de futuris*. Ἡ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα. Ex Proverbiis Catonian. in Bibl. Alb. Fabricii med. & inf. Lat. p. 53.

*Quid cautus caveas, aliena exempla docebunt.*

LIX. Agesilaus moriens, ut narrat Plutarchus in Apophth. vetuit sibi imagines poni. *Siquod*, inquit, *præclarum opus feci, hoc mihi monumentum erit*. Εἴ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν. Sumsit, opinor, Plutarchus ex Oratione Xenophontis de Agesilao, ubi eadem fere sententia est, prope finem. Mæcenas quoque monuit Augustum, ne statuas aureas, aut argenteas sibi fieri pateretur, sed potius recte agendo memoriam sui propagaret, ut est apud Dionem l. 2. sub fin. Tiberius apud Tacitum annal. 4. c. 38. *Hæc mihi in animis vestris templa, hæ pulcherrimæ effigies, & mansuræ*. Loquitur de suis virtutibus.

LX. Cura ut & ipſe in tuto ſis, & urbem tutam habeas. Veruntamen ſi in diſcrimen adductus fueris, elige potius honeſte mori, quam turpiter vivere.

LXI. In omnibus operibus memento dignitatis regiæ; & cura ne quid facias minus dignum amplitudine tanta.

LXII. Ne aſpicias naturam tuam, tamquam totam ſimul perituram; ſed quoniam corpus habes mortale, animam immortalem, cura ut animæ memoriam immortalem relinquas.

LXIII. Exerce te ſermonibus rectis & honeſtis, ut aſſueſcas ſapere ſimilia dictis.

LXIV. Quæ ſcis eſſe optima, hæc facito.

LXV. Quorum laudes æmularis, imitare actiones.

LXVI. Quæ filiis tuis facienda proponeres, hæc te facere æquum cenſe.

LXVII. Utere his, quæ dicta ſunt, vel quære meliora.

LX. Cicero l. 1. Offic. c. 23. *Cum tempus neceſſitaſque poſtulat, decertandum manu eſt, & mors ſervituti turpitudinique anteponenda*. Saluſtius de T. Turpilio Silano Præfecto Vaccæ in Numidia, in Bel. Jugurt. c. 67. *Quia illi in tanto malo turpis vita fama integra potior, improbus inteſtabiliſque videtur.*

LXI. Rationem rei hujus reddit Plutarchus in Præcept. Polit. *διὰ δόξαν, ἣν οἱ πολλοὶ περὶ ἀρχῆς καὶ πολιτείας ἔχουσιν, ὡς πράγματος μεγάλου, καὶ καθαρεύειν ἀξίου πάσης ἀτοπίας καὶ πλημμελείας. Quia vulgo exiſtimatur, principatum rem magnam eſſe, planeque ejuſmodi, ut errore omni vitioque carere debeat*. Itaque, ut idem ait Plutarchus, non ſolum in publica dicta & facta Principis inquiritur, ſed & in cœnam ejus, & in cubile, & in matrimonium, & in ſeria, & in ludicra omnia.

MO-

LX. Μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ καὶ τῇ πόλει διαφυλάττειν· ἐὰν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.

LXI. Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας· καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς.

LXII. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν, ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν.

LXIII. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν.

LXIV. Ἃ δ' ἂν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.

LXV. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις.

LXVI. Ἃ τοῖς παισὶ τοῖς σεαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου.

LXVII. Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων.

LXII. Idem fere Isocrates scribit in Orat. ad Philipp. *Τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γινόμεθα δι' ἀρετήν. Corpus quidem mortale habemus, sed immortales virtute fieri possumus.* Utramque sui partem homini considerandam Plinius proponit l. 9. ep. 3. *Omnes homines arbitror oportere aut immortalitatem suam, aut mortalitatem cogitare: & illos quidem contendere & eniti, hos quiescere & remitti.*

LXIII. Ratio Moniti hujus peti potest a contrario, ut est apud Aristotelem l. 7. Politic. c. 17. *Ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν, γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς. Nam ex facilitate loquendi turpia quælibet, gignitur & licentia faciendi.*

LXIV. Celeberrimum erat apud Lacedæmonas dictum, quod refert Plutarchus in Apoph. Lac. *ἴσασι μὲν οἱ Ἀθηναῖοι τὰ καλά, οὐ πράσσουσι δέ. Sciunt quidem Athenienses quæ sint honesta, sed non faciunt.* V. Ciceronem de Senect. c. 18.

LXVII. Horatius l. 1. epist. 6. *Siquid novisti rectius istis, Candidus imperti; si non, his utere mecum.*

# MONITA POLITICA XL.

## De officio civis erga Principem

# EX ISOCRATIS

Oratione, quæ inſcribitur

## NICOCLES, SEU SYMMACHUS,

quæ eſt ordine Tertia.

I. JUbeo unumquemque veſtrum, quæ ſui officii ſunt, ita gerere, ut nec diligentia deſideretur, neque juſtitia. Utra enim in parte deficiatis, non recte procedere quod agitur, neceſſe eſt.

II. Nihil eorum, quæ vobis mandata ſunt, negligatis, aut parvi faciatis; reputantes, non ſingula quidem per ſe tanti eſſe, ſed tamen ex ſingularum partium modo & ratione rem totam vel bene, vel male ſe habere.

III. Curate quæ mea ſunt nihilo ſecius, quam veſtra: nullumque honorem exiguum putetis, qui res meas recte adminiſtrantibus tribuatur.

IV. Alienis abſtinete, ut ſecurius veſtra poſſideatis.

V. Tales oportet vos eſſe erga alios, qualem me erga vos ipſos eſſe cupitis.

VI. Nolite divitiarum potius, quam virtutis famam quærere: quippe ſcitis, & ex Græcis, & ex barbaris qui maximam virtutis opinionem ſibi compararunt, eos plurimis potiri bonis.

VII.

I. LOquitur de magiſtratibus, qui peccant tum ſi minus juſte, tum ſi minus diligenter agant; quia tam male agendo, quam nihil agendo negotia corrumpuntur.

II. Ita Ariſtoteles lib. 5. Polit. c. 8. oſtendit, rempublicam corrum

# ΕΚ ΤΟΥ
# ΙΣΟΚΡΑΤΟΥΣ

*Λόγου τοῦ ἐπιγεγραμμένου*

## ΝΙΚΟΚΛΗΣ, Η ΣΥΜΜΑΧΟΣ.

I. Ημὶ δὴ πράττειν ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέστηκεν, ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων, ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις.

II. Μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων. ὑπολαμβάνοντες ὡς οὐ παρὰ τοῦτο ταῦτ' ἐστὶν, ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν, ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν.

III. Κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν, ἢ τῶν ὑμετέρων αὐτῶν· καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμὰς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦντες·

IV. Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵνα ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε.

V. Τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷόν περ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίνεσθαι.

VI. Μὴ σπουδάζετε πλουτεῖν μᾶλλον, ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων, οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες, πλείστων ἀγαθῶν δεσπόται καθίστανται·

VII.

rumpi per contemtum partium, quæ ipsæ quidem exiguæ sunt, sed ex iis totum constat, quod non est exiguum.

III. Id dicit, opinor, quia qui aulæ dant operam, & Regi serviunt, iis fere tituli quidam & nomina tribuuntur, quæ magis obsequium, quam honorem significant. Opinione fit, ut ad honorem traducantur.

IV. Vide Ciceronem de Offic. l. 3. c. 5. & seq. Ceterum qui sibi licere vult aliena occupare, idem jus videtur aliis concedere in sua.

VI. Adversus illa Lucilii ex incer. Sat. n. 16.
*Aurum atque ambitio species virtutis utrique est:*
*Quantum habeas, tanti ipse sies, tantique habearis.*

VII. Pro certo habete, quæstus injuste factos non ad opes augendas valere, sed periculum creare.

VIII. Ne putetis, accipere quidem lucrum esse, dare autem damnum. Neutrum enim horum semper eamdem vim habet: sed quod in tempore, & cum virtute fit, id fructum affert facienti.

IX. Nihil eorum ægre faciatis, quæ ego mandarim. Quicunque enim vestrum plurimis in rebus se mihi utiles præbuerint, ii vel maxime suis ipsorum commodis consulent.

X. Cujuscunque rei vestrum quilibet sibi conscius fuerit, hanc ne me quidem latere putet: sed valde sibi persuadeat, quamvis corpore absim, animo tamen rebus omnibus, quæ fiunt, me semper adesse.

XI. Nihil occultum esse velitis nec eorum, quæ possidetis, nec eorum quæ facitis, nec eorum quæ facturi estis. Necesse est enim, ut recte nostis, ea quæ clam fiunt, multos terrores adjunctos habere.

XII. Neque callide, neque latenter ad reip. administrationem contendatis, sed ita simpliciter & aperte, ut etiamsi quis velit, attamen calumniandi rationem non inveniat.

XIII. Actiones expendite: & eas quidem malas judicate, quas mihi clam esse velitis; bonas autem, quibus ego cognitis, vos meliores existimarim.

XIV. Nolite dissimulare, siquos videritis adversus imperium meum peccare, & improbe agere: sed arguite, & reputate, eadem pœna dignos esse delicta celantes, ac facientes.

XV. Felices habete non eos, qui latent, siquid mali fecerint, sed qui nihil mali faciunt. Æquum enim demum est, priores illos debitas factis aliquando pœnas dare, alteros autem parem meritis gratiam consequi.

XVI. Neque sodalitia, neque coitiones faciatis sine au-

VIII. Itaque ajebat Publius Syrus in Mimis n. 645. *Perdidisse mallem, quam accipere turpiter.*

X. Tantam hanc Principis vigilantiam significavit Cardanus de prud. Civil. c. 35. *In tua urbe quidquid est, quidquid agitur, diciturve, in digitis habeto.*

XI.

VII. Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθε μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν.

VIII. Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν· ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας.

IX. Μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων· ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὑτοὺς παράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν.

X. Ὅτι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συνειδὼς, ἡγείσθω μηδὲ ἐμὲ λήσειν· ἀλλ' ἐὰν καὶ τὸ σῶματ' ἐμὸν μὴ παρῇ, τήνγε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι.

XI. Μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν, εἰδότες, ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίνεσθαι.

XII. Μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μὴ δ' ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς, ὥστε μηδ' ἄν τις βούληται, ῥάδιον εἶναι ὑμᾶς διαβάλλειν.

XIII. Δοκιμάζετε τὰς πράξεις, καὶ νομίζετε πονηρὰς μὲν, ἃς ἂν πράττοντες ἐμὲ βούλησθε λανθάνειν, χρηστὰς δὲ, περὶ ὧν ἂν ἐγὼ μέλλω πυθόμενος, βελτίους ὑμᾶς νομιεῖν.

XIV. Μὴ κατασιωπᾶτε, ἐάν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε τῆς αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν.

XV. Εὐτυχεῖς νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας. τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν οἷά περ αὐτοὶ ποιοῦσι, τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνουσιν ὄντες.

XVI. Ἑταιρείας μὴ ποιεῖτε, μήτε συνόδους ἄνευ τῆς ἐμῆς γνώ-

XI. Cicero lib. 3. Offic. c. 9. *Honesta bonis viris, non occulta quæruntur*. Proindeque ad vitandos terrores *hic murus aheneus esto, nil conscire sibi*, ut ait Horatius l. 1. ep. 1. v. 70.

XV. Cicero l. 3. Offic. c. 8. *Satis nobis persuasum esse debet, si omnes Deos hominesque celare possimus, nihil tamen avare, nihil injuste, nihil libidinose, nihil incontinenter esse faciendum*.

XVI. Cato apud Livium l. 34. c. 2. *Ab nullo genere non æque summum periculum est, si cœtus, & concilia, & secretas consultationes esse sinas*.

auctoritate mea. Istiusmodi enim conventus in alio reipublicæ genere utiles sunt, in regno non carent periculo.

XVII. Cavete non modo à delictis, sed etiam ab iis studiis, in quæ necessario delicti suspicio cadit.

XVIII. Benevolentiam erga vos meam tutissimam & firmissimam fore, confidite.

XIX. Custodire præsentem civitatis statum, nulla rerum mutatione quæsita; reputantes istiusmodi perturbationibus & civitates necessario perdi, & privatas domos everti.

XX. Scitote, non in Principum ingeniis dumtaxat positum esse, ut ii demum faciles, vel difficiles sint, sed etiam in moribus civium. Multi enim asperius imperare coacti sunt, quam vellent, propter improbitatem illorum, quibus imperabant.

XXI. Bono animo estote, non propter mansuetudinem & lenitatem meam, sed propter virtutem vestram.

XXII. Sic velim existimetis, securitatem meam esse securitatem vestram. Rebus enim meis recte constitutis, recte erit etiam vestris.

XXIII. Oportet, vos modeste obsequi imperio meo, servantes instituta legesque regias; splendide autem munia civitatis obire, & negotia gerere, quæ ego mandarim.

XXIV. Excitate juniores ad virtutem, non adhortantes modo, sed factis ostendentes, quales deceat esse bonos viros.

XXV. Facite, ut filii vestri sciant Regi parere, & in hujus maxime virtutis studio versari assuescant. Nam si parere didicerint, multo melius imperare poterunt.

XXVI. Si fideles nobis, justique fuerint, in partem venient bonorum nostrorum; sin autem improbi, sua quoque in discrimen adducent.

XXVII. Maximas vos & firmissimas opes filiis vestris

XIX. Petrarcha de Rep. administr. *Augusti est notissimum illud: Quisquis præsentem statum civitatis commutari non vult, & civis, & vir bonus est.*

XXI. Huc referri potest, quod est in P. Syri Mimis n. 593. *Oportet ut bonum peccandi odio, non metu facias.*

XXII.

γνώμης. αἱ γὰρ τοιαῦται συστάσεις, ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν, ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσι.

XVII. Μὴ μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τῶν τοιούτων, ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν γίνεσθαι.

XVIII. Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην εἶναι νομίζετε.

XIX. Διαφυλάττετε τὴν παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς, εἰδότες, ὅτι διὰ τὰς τοιαύτας ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι, καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι.

XX. Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς, ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τῶν πολιτῶν. πολλοὶ γὰρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον, ἢ κατὰ τὴν αὐτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν.

XXI. Θαῤῥεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν.

XXII. Τὴν ἐμὴν ἀσφάλειαν, ἄδειαν ἑαυτοῖς εἶναι νομίζετε· καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτοὺς ἕξει.

XXIII. Ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμὴν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τοὺς νόμους βασιλικούς. λαμπροὺς δ' ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ' ἐμοῦ προσταττομένοις.

XXIV. Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν, μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύντες αὐτοῖς, ὁποίους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς.

XXV. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τῆς τοιαύτης ἀρετῆς ἐθίζετε αὐτοὺς ὡς μάλιστα διατρίβειν· ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται·

XXVI. Πιστοὶ μὲν ὄντες καὶ δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ γινόμενοι κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων·

XXVII. Μέγιστον ἡγεῖσθε τοῖς παισὶ καὶ βεβαιότατον πλοῦ-

τον

XXII. Plinius ad Trajanum in Panegyr. c. 72. *Obsecramus Deos, ut uni tibi faveant; quia in te & tuto ipse, & respub.ica, & nos sumus.*

XXV. Cicero l. 3. de Leg. c. 2. *Qui modeste paret, videtur qui aliquando imperet, dignus esse.*

ſtris relicturos credite, ſi benevolentiam illis noſtram relinquere poſſitis.

XXVIII. Sic vobis perſuadete, miſerrimos & infeliciſſimos eſſe, qui obſtrictam alicui fidem prodiderunt. Neceſſe eſt enim, iſtiuſmodi homines trepide agere, undique ſibi timere, totoque vitæ tempore non magis amicis, quam inimicis credere.

XXIX. Æmulamini non eos, qui plurima poſſident, ſed qui recte poſſident, nulliuſque ſceleris ſibi conſcii ſunt.

XXX. Ne putetis, improbitatem plus commodi afferre, quam virtutem; nomen autem deterius habere: ſed qualia res ſingulæ ſortitæ nomina ſunt, talem prorſus earum eſſe vim & naturam, exiſtimate.

XXXI. Nolite invidere iis, qui primas tenent apud me: ſed contendite & efficite virtute ac probitate, ut illis pares ſitis.

XXXII. Amore & honore dignos judicate, quos Rex ipſe amat & honorat; ut eodem apud me loco eſſe poſſitis.

XXXIII. Ut, præſente & audiente me, loqui ſoletis; ita me abſente, ſentire vos decet ac judicare.

XXXIV. Benevolentiam erga nos veſtram factis potius oſtendite, quam ſermonibus.

XXXV. Quæ vobis ab aliis fieri indignamini, ea ipſi aliis ne faciatis.

XXXVI. Quæ verbis reprehendere ſoletis, ea ne faciendo ſequamini.

XXXVII. Talia a nobis expectate, quales ipſi erga nos eritis.

XXXVIII. Bonos ne laudetis dumtaxat, ſed etiam imitamini.

XXXIX. Verba mea pro legibus habete, conſtanter-

XXIX. Horatius l. 4. Od. 9.
*Non poſſidentem multa vocaveris*
*Recte beatum: rectius occupat*
*Nomen beati, qui Deorum*
*Muneribus ſapienter uti,*
*Duramque callet pauperiem pati,*
*Pejuſque leto flagitium timet.*

XXXII.

πον παραδώσειν, ἐὰν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλιπεῖν.

XXVIII. Ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους ὅσοι περὶ τοὺς πιστεύσαντας ἄπιστοι γεγόνασιν. ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας καὶ φοβουμένους ἅπαντα, καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν.

XXIX. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας.

XXX. Μὴ τὴν κακίαν δύνασθαι μὲν πλέον τῆς ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν. ἀλλ' οἵωνπερ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι.

XXXI. Μὴ φθονεῖτε τοῖς παρ' ἐμοῦ πρωτεύουσιν, ἀλλὰ ἁμιλλᾶσθε καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσι.

XXXII. Φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν, οὕς περ ἂν καὶ βασιλεὺς, ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων.

XXXIII. Οἷά περ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε.

XXXIV. Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον, ἢ τοῖς λόγοις.

XXXV. Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε.

XXXVI. Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορεῖτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε.

XXXVII. Τοιαῦτα προσδοκᾶτε πράξειν, οἷα ἂν περὶ ἡμῶν διανοῆσθε.

XXXVIII. Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ μιμεῖσθε.

XXXIX. Τοὺς λόγους τοὺς ἐμοὺς νόμους εἶναι νομίζετε, καὶ πει-

XXXII. M. Terentius hac ipſa de cauſſa excuſat Tiberio amorem ſuum & obſequium erga Seianum apud Tacitum l. 6. Annal. c. 8. *Tuum, Cæſar, generum, tui conſulatus ſocium, tua officia in rep. capeſſentem colebamus. Non eſt noſtrum æſtimare, quem ſupra ceteros, & quibus de cauſſis extollas.*

XXXV. Hinc illud Publii Syri in Mimis n. 4. *Ab alio expectes, alteri quod feceris.* Ita in ſ. litteris Matthæi c. 7. n. 12. *Quæcunque vultis ut faciant vobis homines, & vos facite illis.* Similia prorſus habet & D. Lucas in c. 6. n. 31.

terque servate. Quicunque enim ex vobis ita se gesserint, ut ego volo, iis maxime vivere licebit, ut ipsi voluerint.

XL. Caput omnium, quæ diximus, est, ut qua ratione eos, qui vobis parent, erga vos esse vultis, eadem ipsi erga me & imperium meum affecti sitis.

XL. Seneca epist. 47. *Sic cum inferiore vivas, quemadmodum tecum superiorem velles vivere*. Monitum hoc, cui fere simile est trigesimum orationis secundæ, plura continet. Ceterum ne mireris, Monita de officio civis erga Principem esse pauciora: nam sequi facilius est, quam ducere.



πειρᾶσθε τούτοις ἐμμένειν, εἰδότες, ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἃ βούλομαι, τούτοις ἐξέσται ζῆν, ὡς αὐτοὶ βούλονται.

XL. Κεφάλαιον τῶν εἰρημένων, οἵους περ ἂν τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους καὶ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίνεσθαι.

Tolle notam paginæ superioris; atque ita repone.

XLI. Hæc inversio quædam est Moniti XXX Orationis secundæ. Ad illud pertinet id, quod Seneca scribit epist. 47. *Sic cum inferiore vivas, quemadmodum tecum superiorem velles vivere*. Ad hoc autem facit illud D. Augustini de Opere Monachor. c. 31. *Quid iniquius, quam velle sibi obtemperari a minoribus, & nolle obtemperare majoribus?*



# EX DIONYSIO ALICARNASSEO DE ANTIQUIS ORATORIBUS

Edition. Lipſienſis 1691. p. 95.

ΜΆλιϛα δ' ἡ προαίρεσις ἡ τῶν λόγων περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβάς. Ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους, οἴκῳ τε καὶ τῇ πόλει χρησίμους. Κράτιϛα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐϛὶν εὑρεῖν λόγοις. Καὶ ἔγωγέ φημι χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς πολιτικῆς δυνάμεως, ἀλλ' ὅλην αὐτὴν κτήσασθαι, τοῦτον ἔχειν τὸν ῥήτορα διὰ χειρός.

## HOC EST.

MAxime autem ( excelluit Iſocrates ) in rerum delectu, quas oratione explicaret, & in argumentorum pulcritudine ac dignitate, quibus eloquentiam ſuam exerceret. Ex quo fit, ut ejus ſtudioſi non modo ad recte dicendum, ſed etiam ad recte vivendum idonei fiant, ſuæque familiæ ac civitati admodum utiles. Præſtantiſſima enim in orationibus Iſocratis virtutis præcepta reperiuntur. Ac ſiquis non partem aliquam, ſed univerſam regendæ reip. rationem tenere voluerit, illi ego auctor ſum, ut oratorem hunc præ manibus habeat.

IN-

# INDEX
## RERUM ET VERBORUM

### A



### B



### C

Quæ-

Vir-

FINIS.

